αἱ δ' αὐταὶ καὶ φέγγος ἐδᾳδούχουν περὶ παστῷ
πεῦκαι καὶ φθιμένᾳ νέρθεν ἔφαινον ὁδόν.

## CXXIV

παμμῆτορ Γῆ, χαῖρε· σὺ τὸν πάρος οὐ βαρὺν εἰς σέ
Αἰσιγένην καὐτὴ νῦν ἐπέχοις ἀβαρής.

## CXXV

οἰκτρότατον μάτηρ σε, Χαρίξενε, δῶρον ἐς Ἅιδαν
ὀκτωκαιδεκέταν ἐστόλισ' ἐν χλαμύδι·
ἦ γὰρ δὴ καὶ πέτρος ἀνέστενεν, ἁνίκ' ἀπ' οἴκων
ἅλικες οἰμωγᾷ σὸν νέκυν ἠχθοφόρευν.
πένθος δ', οὐχ ὑμέναιον, ἀνωρύοντο γονῆες·
αἰαῖ τὰς μαστῶν ψευδομένας χάριτας
καὶ κενεὰς ὠδῖνας· ἰὼ κακοπάρθενε Μοῖρα,
στεῖρα γονᾶς στοργὰν ἔπτυσας εἰς ἀνέμους·
τοῖς μὲν ὁμιλήσασι ποθεῖν πάρα, τοῖς δὲ τοκεῦσι
πενθεῖν, οἷς δ' ἀγνὼς πευθομένοις ἐλεεῖν.

## CXXVI

οὐκέθ' ὁμοῦ χιμάροισιν ἔχειν βίον, οὐκέτι ναίειν
ὁ τραγόπους ὀρέων Πὰν ἐθέλω κορυφάς.
τί γλυκύ μοι, τί ποθεινὸν ἐν οὔρεσιν; ὤλετο Δάφνις,
Δάφνις ὃς ἡμετέρῃ πῦρ ἔτεκ' ἐν κραδίῃ.